www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

**Homerus**

**[Basel], [1541]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Iliados Y

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Υ ΤΟΥ

## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Διὸς ἐπιτρέψαντος, κατέρχονται βοηθήσοντες οἱ θεοὶ πάντες. τοῖς μὲν Ἕλλησιν Ἥρα τε καὶ Ἀθηνᾶ, καὶ Ποσειδῶν καὶ Ἥφαιστος, καὶ Ἑρμῆς. τοῖς δὲ Τρωσίν, Ἀφροδίτη, καὶ Ἀπόλλων. ἔτι δὲ καὶ Ἄρτεμις, καὶ Λητώ. Ἄρης τε καὶ Σκάμανδρος. Αἰνείαν δὲ ἀντιστάντα Ἀχιλλεῖ, σώζει Ποσειδῶν νεφέλῃ καλύψας. Ἀχιλλεὺς δὲ ἄλλους τε ἀναιρεῖ, καὶ Πολύδωρον τὸν Πριάμου παῖδα. Ἕκτωρ δὲ ἀντιστὰς αὐτῷ, φεύγει Ἀπόλλωνος σώσαντος αὐτόν. τοὺς δὲ ἄλλους Ἀχιλλεὺς ἐπὶ τὴν πόλιν φεύγοντας κατεπείγει.

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Υ ΤΟΥ

## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ.

Θωρήσσοντο.] καθωπλίζοντο. ἀμφὶ σέ.] περὶ σέ. ὀρθοτονητέον τὴν ἀντωνυμίαν. ἀκόρητοι.] ἀπλήρωτοι. θρωσμῷ.] ὑψηλῷ τόπῳ, ὅθεν ἔστι καταθορεῖν. καὶ πηδῆσαι. ἔστι δὲ οὗτος ἐν Ἰλίῳ, σταδίων πέντε τὴν περίμετρον μεταξὺ Σιμοῦντος ποταμοῦ καὶ τῆς Ἰλιέων καλουμένης κώμης. ὅπου καὶ τὰς θεὰς κριθῆναι λέγουσι περὶ κάλλους. ὀνομάζεται δὲ Καλλικολώνη. ἐπεὶ τῶν πέριξ τόπων ἐπισημότατός ἐστιν. ἡ ἱστορία παρὰ Δημητρίῳ τῷ σκηψίῳ. Θέμιστα.] ἀντὶ τοῦ Θέμιν. δικαιοσύνην ἥτις ἐστὶ μία τῶν Τιτανίδων. κρατὸς ἀπ' οὐλύμποιο.] κορυφῆς τοῦ ὀλύμπου. τῆς ἀκρωρείας. πολυπτύχου.] πολλὰς ἀποκλίσεις. καὶ ἐξοχὰς ἔχοντος. φοιτήσασα.] παραγενομένη. ἀπέην.] ἀπῆν. νόσφι.] χωρίς. τὸν δὲ ὠκεανὸν οὐ παρέλαβεν εἰς τὸ τῶν θεῶν συνέδριον. ἵνα μὴ κωλύσῃ αὐτοὺς τῆς πρὸς ἀλλήλους μάχης, πρεσβύτατος ὑπάρχων. οὔτ' ἄρα νυμφάων ταί τ' ἄλσεα καλὰ νέμονται.] αἱ τὰ ἄλση κατοικοῦσαι νύμφαι, ἀλσηΐτιδες καλοῦνται. αἱ δὲ ἐπὶ τῶν δένδρων, ἀμαδρυάδες. αἱ δὲ τὰ νάματα τῶν ὑδάτων, ναΐδες καὶ ὑδριάδες. καὶ τούτων αἱ μὲν κρηνίδες. αἱ δὲ ἐπιποταμίδες. αἱ δὲ ἐπὶ τῶν βοσκημάτων, ἐπιμηλίδες. αἱ δὲ ἐπὶ τῶν ὀρῶν, ὀρεστιάδες. καὶ ὅσαι ταύταις ὅμοιαι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἑλῶν, ἑλειονόμοι. πίσεα.] τὰ ὑδρηλὰ χωρία. τοὺς καθύγρους τόπους. ἀπὸ τοῦ εἶναι ἐν αὐτοῖς πῖσαι. ὅ ἐστι ποτίσαι. ποιήεντα.] βοτάνην ἔχοντα. νηκούστησε.] παρήκουσε. οὐδ' Ἐνοσίχθων νηκούστησε θεᾶς.] ὁ δὲ Ποσειδῶν οὐ παρήκουσε τῆς Θέμιδος. τοῦτο δὲ εἴρηκε διὰ τὴν γεγονυῖαν αὐτῷ μικρῷ πρόσθεν πρὸς τὸν Δία φιλονεικίαν. μετ' αὐτοὺς πρὸς αὐτούς. δέδηε.] φαίνεται. φλέγει. ξυνάγειρα.] συνήγειρα. ἤθροισα. πτυχί.] ἀποκλίσει. ἐξοχῇ. ἵκησθε.] παραγένησθε. χώεται.] λυπεῖται. ὑπὲρ μόρον.] παρὰ τὸ εἱμαρμένον. παρὰ τὸ δέον.

ἀλαίτον.

# ΙΛΙΑΔΟΣ Υ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ

*Υ μακάρων ἔρις ὦρτο. φέρει δ' ἐπὶ κάρτος Ἀχαιοῖς.*

Ὣς οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο.
Ἀμφὶ σὲ Πηλέος υἱὲ μάχης ἀκόρητον Ἀχαιοί.
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο.
Ζεὺς δὲ Θέμιστι κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι,
Κρατὸς ἀπ' οὐλύμποιο πολυπτύχου, ἡ δ' ἄρα πάντῃ
Φοιτήσασα κέλευσε Διὸς πρὸς δῶμα νέεσθαι,
Οὔτέ τις οὖν ποταμῶν ἀπέην νόσφ' ὠκεανοῖο,
Οὔτ' ἄρα νυμφάων, ταί τ' ἄλσεα καλὰ νέμονται,
Καὶ πηγὰς ποταμῶν, καὶ πίσεα ποιήεντα.
Ἐλθόντες δ' ἐς δῶμα Διὸς νεφεληγερέταο,
Ξεστῇς αἰθούσῃσιν ἐφίζανον, ἃς Διὶ πατρὶ
Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσιν,
Ὣς οἱ μὲν Διὸς ἔνδον ἀγηγέρατ', οὐδ' Ἐνοσίχθων
Νηκούστησε θεᾶς, ἀλλ' ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς,
Ἷζε δ' ἄρ' ἐν μέσσοισι, Διὸς δ' ἐξείρετο βουλήν.
Τίπτ' αὖ ἀργικέραυνε θεοὺς ἀγορήνδ' ἐκάλεσσας;
Ἤ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
Τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηε,
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς
Ἔγνως Ἐννοσίγαιε ἐμὴν ἐνὶ στήθεσι βουλήν,
Ὧν ἕνεκα ξυνάγειρα μέλουσί μοι ὀλλύμενοί περ.
Ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ οὐλύμποιο
Ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι, οἱ δὲ δὴ ἄλλοι,
Ἔρχεσθ' ὄφρ' ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς

Ἀμφοτέ

Ἀμφοτέροισι δ' ἀρήγεθ' ὅπη νόος ἐστὶν ἑκάστου.
Εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσι μαχεῖται,
Οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλείωνα.
Καὶ δέ τέ μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες.
Νῦν δ' ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς,
Δείδω μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ.
Ὣς ἔφατο Κρονίδης. πόλεμον δ' ἀλίαστον ἔγειρε.
Βὰν δ' ἴμεναι πόλεμον δὲ θεοὶ δίχα θυμὸν ἔχοντες.
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη,
Ἠδὲ Ποσειδάων γαιήοχος ἠδ' ἐριούνης
Ἑρμείας, ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκαστο.
Ἥφαιστος δ' ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων
Χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
Ἐς δὲ Τρῶας, Ἄρης κορυθαίολος, αὐτὰρ ἅμ' αὐτῷ
Φοῖβος ἀκερσεκόμης, ἠδ' Ἄρτεμις ἰοχέαιρα.
Λητώ τε, Ξάνθος τε, φιλομμειδής τ' Ἀφροδίτη.
Εἵως μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,
Τέως Ἀχαιοὶ μὲν μέγ' ἐκύδανον οὕνεκ' Ἀχιλλεὺς
Ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον
Δειδιότας, ὅθ' ὁρῶντο ποδώκεα Πηλείωνα
Τεύχεσι λαμπόμενον βροτολοιγῷ ἶσον Ἄρηϊ.
Αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον ὀλύμπιοι ἤλυθον ἀνδρῶν,
Ὦρτο δ' ἔρις κρατερὴ λαοσσόος, αὖε δ' Ἀθήνη
Στᾶσ', ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτὸς,
Ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων, μακρὸν ἀΰτει,
Αὖε δ' Ἄρης ἑτέρωθεν, ἐρεμνῇ λαίλαπι ἶσος
Ὀξὺ, κατ' ἀκροτάτης πόλιος Τρώεσι κελεύων.
Ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ
Ὣς τοὺς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύνοντες
Σύμβαλον, ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν,
Δεινὸν δ' ἐβρόντησε πατὴρ ἀνδρῶν τε, θεῶν τε
Ὑψόθεν, αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξε
Γαῖαν ἀπειρεσίην, ὀρέων τ' αἰπεινὰ κάρηνα.
Πάντες δ' ἐσσείοντο πόδες πολυπιδάκου Ἴδης,
Καὶ κορυφαὶ, Τρώων τε πόλις, καὶ νῆες Ἀχαιῶν.
Ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς.
Δείσας δ', ἐκ θρόνου ἆλτο καὶ ἴαχε μή οἱ ὕπερθε
Γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων,
Οἰκία δὲ θνητοῖσι, καὶ ἀθανάτοισι φανείη,
Σμερδαλέ' εὐρώεντα τά τε στυγέουσι θεοί περ.
Τόσσος ἄρα κτύπος ὦρτο θεῶν, ἔριδι ξυνιόντων.
Ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος,

Ἕστατ'

ἀλίαστον.] χαλεπὸν, ἄφυκτον. ἔγειρεν.] ἤγειρεν, ἐκίνησε. δίχα.] διχῶς, εἰς δύο. ἀγῶνα νεῶν.] τὴν συναγωγὴν τῶν πλοίων. ἐριούνης.] μεγάλην ὄνησιν παρέχων, μεγαλοφελής. πευκαλίμῃσι,] δριμείαις, συνεταῖς. βλεμεαίνων.] ἐπιρρωνύμενος, ἐπιὼν. ἀκερσεκόμης.] μὴ κειρόμενος τὴν κόμην. ἀεὶ κομῶν διὰ τὰς ἀκτῖνας. ἶσος γὰρ τῷ ἡλίῳ ὁ Ἀπόλλων. ἐκύδανον.] ἐδόξαζον. ἐπ' ἀκτάων.] ἐπὶ τῶν αἰγιαλῶν. λέγω δὲ τῶν παραθαλασσίων τόπων τῆς γῆς δὲ καὶ ἔσω τῶν ναυστάθμων προβεβλημένων. ἐριδούπων.] μεγαλοήχων. μακρὸν ἀΰτει.] μέγα ἐβόα. αὖεν.] ἐφώνει, ἐβόα. ἐαὺ δὲ δασύνεται, ἐξέκαιεν. ἐρεμνῇ.] σκοτεινῇ, φοβερᾷ. ὀξύ.] χαλεπὸν, δριμύ.

θέων ἐπὶ καλλικολώνῃ.] ὅ ἐστι τρέχων. Ἀρίσταρχος ἀνέγνω περισπωμένως τὸ χωρίον θεῶν λέγων. ἡ δὲ καλλικολώνη ἐστὶν ὑψηλὸς τόπος. ῥήγνυντο.] ἐρρήγνυον. ἐτίναξε.] διέσεισεν.

ἀπειρεσίην.] μεγάλην. πόδες.] τὰ καταλήγοντα τῶν ὀρῶν μεταφορικῶς.

ἴαχεν.] ἐβόα. στυγέουσι.] δεδοίκασι, φοβοῦνται. ξυνιόντων.] συνερχομένων. ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος.] καὶ τὰ ἑξῆς. ἡ τῶν θεῶν μάχη περιέχει φυσικὴν στοιχείων πρὸς στοιχεῖα ἀντίταξιν, ἠθικῶν πρὸς ἀρετάς. Ἀπόλλων μὲν γὰρ ἐναντιοῦται Ποσειδῶνι, τὸ θερμικὸν πῦρ τῷ παντὶ ὑγρῷ, Ἀθηνᾶ δὲ Ἄρει. ἡ φρόνησις τῇ ἀφροσύνῃ. Ἥρα δὲ Ἀρτέμιδι. ὁ περίγειος ἀὴρ τῇ σελήνῃ. Ἑρμῆς δὲ Λητοῖ, ὁ λόγος τῇ λήθῃ. Ἥφαιστος δὲ Ξάνθῳ. τὸ ὅλον πῦρ μέρει τοῦ ὕδατος. διατί δὲ οὗτοι οἱ θεοὶ προῄρηνται βοηθεῖν τοῖς Ἕλλησιν. Ἥρα, Ἀθηνᾶ, Ποσειδῶν, Ἥφαιστος, Ἑρμῆς. τοῖς δὲ Τρωσὶν, Ἀπόλλων, Ἄρτεμις, Λητὼ, Σκάμανδρος, Ἀφροδίτη. Ἥρα μὲν οὖν Ἕλλησι βοηθεῖ. ὅτι γαμήλιος ἐστὶν ἡ θεά. μισεῖ δὲ μοιχὸν ὄντα τὸν Ἀλέξανδρον. ἢ ὅτι τὸ τῷ Ἄργει ἐτιμᾶτο λαμπρῶς. ὅθεν φησὶν ὁ ποιητὴς καὶ τὸ Ἥρη τ' Ἀργείη. ἢ καὶ ὅτι ὡς τὸ Ἄργος οὕτως οἰκεῖα ἦν αὐτῇ καὶ ἡ Σπάρτη καὶ ἡ Μυκήνη. ὥς φησιν ἐν τῷ δ. Ἀθηνᾶ δὲ ἤτοι διὰ ἀποδοκιμασθῆναι ὑπὸ Ἀλεξάνδρου. ἢ διὰ τὸ ἀλλοτρίους εἶναι τῆς συνέσεως τοὺς βαρβάρους. Ποσειδῶν δὲ ἐπεὶ οἱ πλείους τῶν Ἑλλήνων νησιῶταί εἰσι. καὶ διὰ τὸ ὀργίζεσθαι μὲν Λαομέδοντι ἐπὶ τῇ ἀποστερήσει τοῦ μισθοῦ τῆς τειχοποιίας. Ἑρμῆς δὲ ὅτι ἐξ Ἀρκαδίας. ἢ ὅτι λόγιος, ἢ ὅτι ἐπειδὴ κήρυκας ἀποσταλέντας πρὸς αὐτοὺς ὑπὸ Ἑλλήνων ἐπὶ διαλύσει

ἠθέλη-

Ἵστατ' Ἀπόλλων Φοῖβος ἔχων ἰὰ πτερόεντα.
Ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη.
Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη Ἑκάτοιο,
Λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς.
Ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης,
Ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον.
Ὣς οἱ μὲν θεοὶ ἄντα θεῶν ἴσαν, αὐτὰρ Ἀχιλλεὺς,
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῦναι ὅμιλον
Πριαμίδεω, τοῦ γάρ ῥα μάλιστά γε θυμὸς ἀνώγει
Αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν,
Αἰνείαν δ' ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων,
Ἀντία Πηλείωνος, ἐνῆκε δέ οἱ μένος ἠΰ.
Υἱέϊ δὲ Πριάμοιο Λυκάονι εἴσατο φωνήν,
Τῷ μιν ἐεισάμενος, προσέφη Διὸς υἱὸς Ἀπόλλων,
Αἰνεία Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί,
Ἃς, Τρώων βασιλεῦσιν ὑπέσχεο οἰνοποτάζων,
Πηλείδεω Ἀχιλῆος, ἐναντίβιον πολεμίζειν;
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμειβόμενος, προσέειπε.
Πριαμίδη, τί με ταῦτα, καὶ οὐκ ἐθέλοντα κελεύεις,
Ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι.
Οὐ μὲν γὰρ δὴ πρῶτα ποδώκεος ἄντ' Ἀχιλῆος
Στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν,
Ἐξ Ἴδης ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσιν.
Πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον, αὐτὰρ ἐμὲ Ζεὺς
Εἰρύσαθ', ὅς μοι ἐπῶρσε μένος λαιψηρά τε γοῦνα,
Ἦ κ' ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης
Ἥ οἱ πρόσθεν ἰοῦσα τίθει φάος ἠδ' ἐκέλευεν,
Ἔγχει χαλκείῳ, Λέλεγας καὶ Τρῶας ἐναίρειν.
Τῷ οὐκ ἔστ' Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι.
Αἰεὶ γὰρ πάρα, εἷς γε θεῶν ὃς λοιγὸν ἀμύνει.
Καὶ δ' ἄλλως τοῦ γ' ἰθὺ βέλος, πέτετ', οὐδ' ἀπολήγει,
Πρὶν χροὸς ἀνδρομένοιο διελθέμεν, εἰ δὲ θεός περ
Ἶσον τείνειεν πολέμου τέλος, οὔ με μάλα ῥέα
Νικήσει, οὐδ' εἰ παγχάλκεος εὔχεται εἶναι.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων.
Ἥρως, ἀλλ' ἄγε καὶ σὺ θεοῖς αἰειγενέτῃσιν
Εὔχεο, καὶ δέ σε φασὶ Διὸς κούρης Ἀφροδίτης
Ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστίν.
Ἡ μὲν

ἠβουλήθησαν ἀνελεῖν οἱ Τρῶες. τῶν δὲ κηρύκων προστάτης ὁ Ἑρμῆς. Ἥφαιστος δὲ διὰ τὸ μισεῖν Ἄρην ὅτι ἐμοίχευσεν αὐτοῦ τὴν γυναῖκα Ἀφροδίτην. τοῖς δὲ Τρωσὶ προέστη Ἄρης. τὸ ὅμοιον μεταδιώκων. φιλοπόλεμος γὰρ ὁ θεός. φιλοπόλεμοι δὲ καὶ οἱ Τρῶες. καὶ τὴν μοιχείαν τοῦ Πάριδος παριέπων ὡς μοιχός. ὁ δὲ Ἀπόλλων, καὶ ἤτοι διὰ τὸ τόξον. τοξικοὶ δὲ καὶ οἱ Τρῶες, καὶ ἐν πρώτοις Ἀλέξανδρος· ἢ ὅτι κιθαριστὴς, καὶ εὔμορφος ὡς Ἀλέξανδρος. Ἄρτεμις δὲ καὶ Λητὼ χαριζόμεναι τῷ Ἀπόλλωνι. ἢ ὅτι παρὰ τοῖς βαρβάροις τιμῶνται. Ξάνθος δὲ ὡς ὑπὲρ οἰκείας χώρας μάχεται. ἡ δὲ Ἀφροδίτη διὰ τὸ ὑπὸ Ἀλεξάνδρου προκριθῆναι, καὶ σχεδὸν εἰπεῖν, αὐτὴ ἀνθίσταται τῷ πολέμῳ καὶ εἰκότως πάρεστι βοηθὸς τοῖς Τρωσίν. ἰά.] βέλη, πληθυντικῶς. ἄντα δ' Ἐνυαλίοιο.] ἐξ ἐναντίας δὲ τοῦ Ἄρεος. ὁ δὲ τρόπος μετωνυμία. ὡς ἀπὸ Ἐνυοῦς τῆς πολεμικῆς δαίμονος. χρυσηλάκατος.] ἐργατική. νῦν δὲ ἡ χρυσοῦν τόξον ἔχουσα. χρυσότοξος. ἀπὸ τούτου δὲ καὶ κελαδεινή. ἀντὶ τοῦ κυνηγετική. κραυγάζουσι γὰρ οἱ κυνηγοί. Σῶκος.] ἤτοι ὁ ἰσχυρός. σώκειν γὰρ τὸ ἰσχύειν. ἢ σοούμενος ὠκέως. τουτέστιν ὁρμῶν ταχέως. ἄγγελος γὰρ ὁ θεός. ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον.] τῶν διωνύμων. τὸ μὲν προγενέστερον ὄνομα εἰς θεοὺς ἀναφέρει ὁ Ποιητής. τὸ δὲ μεταγενέστερον εἰς ἀνθρώπους. διατί δὲ κατὰ τὸν πόλεμον οὗτοι οἱ θεοὶ ἐναντιοῦνται ἀλλήλοις. Ποσειδῶν μὲν Ἀπόλλωνι, ὅτι κατὰ τὸν μῦθον συναδικηθεὶς αὐτῷ ὑπὸ Λαομέδοντος, ἐκείνῳ συνήργει. Ἄρης Ἀθηνᾷ, ἐπεὶ ἐκώλυσεν αὐτὸν τὸν Ἀσκαλάφου θάνατον ἐκδικῆσαι. ἢ διότι ἐν ὄψει τῶν θεῶν ὕβρισεν αὐτὸν, εἰποῦσα, μαινόμενε φρένας ἠλέ. Ἥρα δὲ Ἀρτέμιδι. ἔστι γὰρ αὐτῆς μητρυιά. Λητοῖ δὲ Ἑρμῆς, δικαίως. μουσικὸς γὰρ ὑπάρχων τὴν τὸν μουσικὸν Ἀπόλλωνα γεννήσασαν καὶ τῶν ἐπιτηδευμάτων ἀντίζηλον μεμίσηκεν. ἢ ὡς λόγιος καὶ μνήμων ἀποστρέφεται αὐτὴν ὡς λήθην. Ἥφαιστος δὲ Ξάνθῳ. εἰκότως ὅτι ἡ μὲν ποταμῶν φύσις πέφυκεν ὑγρά, Ἥφαιστος δέ ἐστι τοῦ πυρὸς δεσπότης. οὗ τὰ ξύλα τροφή. κατὰ δὲ τὸν φυσικὸν λόγον Ἀπόλλων ἥλιος ὢν ἀναπίνει τὰ ὑγρὰ στοιχεῖα. Ἀθηνᾶ δέ ἐστι φρόνησις. Ἄρης δὲ ἀφροσύνη. ἐναντία δὲ καὶ πολέμιά ἐστι ταῦτα ἀλλήλων. Ἥρα δὲ ἐστὶν ἀήρ. Ἄρτεμις δὲ σελήνη, ἀεροτεμίς τις οὖσα, καὶ τὸν ἀέρα τέμνουσα. ἐξ οὗ ἤρτηται. καὶ τὸ βαρύνον αὐτὴν πολέμιον νενόμικεν. Ἑρμῆς δέ ἐστιν ὁ λόγος. Λητὼ δὲ ἀμνημοσύνη. οἷον ληθώ τις τῶν λόγων. Ἥφαιστος δὲ τὸ πῦρ. Ξάνθος τὸ ὑγρόν. ἀλλότριον δὲ τὸ πῦρ τοῦ ὑγροῦ. ἆσαι.] πληρῶσαι. κορέσαι. εἴσατο.] ὡμοιώθη. ἀπειλαί.] νῦν καυχήσεις. οἰνοποτάζων.] τῶν δημοσίων τιμῶν τε καὶ γερῶν ἀπολαύων καὶ εὐωχούμενος. πάρα.] πάρεστιν. ἀπολήγει.] ἀποπαύεται. ἀνδρομένοιο.] ἀνθρωπίνου. Λύρνησσον.] πόλις τῶν Ὑποπλακίων Θηβῶν. Πήδασον.] ποταμὸς Ἑλλησπόντου, καὶ τόπος. Λέλεγας.] τοὺς ἐν Ἑλλησπόντῳ ἀπὸ τῆς Θεσσαλίας πρώ-

τες κατοι-

Ἡ μὲν γὰρ Διός ἐσθ', ἡ δ' ἐξ ἁλίοιο γέροντος.
Ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
Λευγαλέοις ἐπέεσιν ἀποτρεπέτω καὶ ἀρειῇ.
Ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.
Βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.
Οὐδ' ἔλαθ' Ἀγχίσαο πάϊς λευκώλενον Ἥρην.
Ἀντία Πηλείωνος ἰὼν ἀνὰ ὔλαμον ἀνδρῶν.
Ἡ δ' ἄμυδις καλέσασα θεοὺς, μετὰ μῦθον ἔειπε.
Φράζεσθον δὴ σφῶϊ Ποσείδαον καὶ Ἀθήνη
Ἐν φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσται τάδε ἔργα.
Αἰνείας ὅδ' ἔβη κεκορυθμένος αἴθοπι χαλκῷ.
Ἀντία Πηλείωνος, ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων,
Ἀλλ' ἄγεθ' ἡμεῖς πέρ μιν ἀποτρωπῶμεν ὀπίσσω
Αὐτόθεν, ἤ τις ἔπειτα καὶ ἡμείων Ἀχιλῆϊ
Παρσταίη, δοίη δὲ κράτος μέγα, μηδέ τι θυμῷ
Δευέσθω, ἵνα εἰδῇ ὅ μιν φιλέουσιν ἄριστοι
Ἀθανάτων, οἱ δ' αὖτ' ἀνεμώλιοι οἱ τὸ πάρος περ
Τρωσὶν ἀμύνουσιν πόλεμον καὶ δηϊοτῆτα.
Πάντες δ' οὐλύμποιο καθήλθομεν ἀντιόωντες
Τῆς δὲ μάχης ἵνα μή τι μετὰ Τρώεσσι πάθῃσι
Σήμερον, ὕστερον αὖ τε τὰ πείσεται ἅσσά οἱ αἶσα
Γεινομένῳ ἐπένησε λίνῳ ὅτε μιν τέκε μήτηρ.
Εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκ πεύσεται ὀμφῆς,
Δείσετ' ἔπειθ' ὅτε κέν τις ἐναντίβιον θεὸς ἔλθῃ
Ἐν πολέμῳ, χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.
Τὴν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων.
Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον, οὐδέ τι σε χρή.
Οὐκ ἂν ἔγωγ' ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσσαι.
Ἡμέας τοὺς ἄλλους ἐπεὶ πολὺ φέρτεροι ἦμεν. Νόθος
Ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα κιόντες,
Ἐκ πάτου ἐς σκοπιὴν, πόλεμος δ' ἄνδρεσσι μελήσει.
Εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης, ἢ Φοῖβος Ἀπόλλων.
Ἢ Ἀχιλῆ' ἴσχωσι καὶ οὐκ εἰῶσι μάχεσθαι,
Αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι, νεῖκος ὀρεῖται
Φυλόπιδος, μάλα δ' ὦκα διακρινθέντας ὀΐω,
Ἂψ ἴμεν Οὔλυμπόν δε θεῶν μεθ' ὁμήγυριν ἄλλων,
Ἡμετέρῃς ὑπὸ χερσὶν ἀνάγκῃ ἶφι δαμέντας,
Ὣς ἄρα φωνήσας ἡγήσατο κυανοχαίτης
Τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο
Ὑψηλὸν, τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
Ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέοιτο,
Ὁππότε μιν σεύαιτο ἀπ' ἠιόνος πεδίονδε.
Ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο καὶ θεοὶ ἄλλοι,

Ἀμφὶ

τοὺς κατοικοῦντας. ἶσον τάνει πολέμου τέλος.] ἶσον ποιήσει τὸ τέλος τοῦ πολέμου. μὴ δ' ἑτέρῳ βοηθῇ. ἀρειῇ.] ἀπειλῇ, οἱ δὲ βλάβῃ, ἀπὸ τοῦ Ἄρεος. ἡ δ' ἄμυδις καλέσασα θεούς.] αὕτη δὲ τοὺς θεοὺς ὁμοῦ συγκαλέσασα. δευέσθω.] προσδεέσθω. οἱ τὸ πάρος περ.] νῦν οἱ ἐξ ἀρχῆς. ἐπένησεν.] ἐπέκλωσεν. ὀμφῆς.] κληδόνος. εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκπεύσεται ὀμφῆς.] εἰ δὲ Ἀχιλλεὺς οὐκ ἀκούσεται ἐκ τῆς θείας φωνῆς, τοῦτ' ἐστιν ὑμῶν αὐτῶν. χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.] χαλεποὶ δὲ καὶ δεινοὶ οἱ θεοὶ φανεροὶ φαινόμενοι τοῖς ἀνθρώποις. δείσεται.] φοβηθήσεται. παρὲκ νόον.] παραγνώμην, ἀνοήτως. ἐκ πάτου.] ἐκ ὅθεν τῆς κοινῆς ὁδοῦ, τοῦτ' ἐστι τῆς συναναστροφῆς. ἐκ πάτου ἐς σκοπιήν.] ἐκ τῆς πεπατημένης ὁδοῦ εἰς τόπον σκοπιὰν ἔχοντα. λέγει τὸ Ἡρακλέους χῶμα. αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι νεῖκος ὀρεῖται.] ἵν' ἦ. διεγερθήσεται κινηθήσεται. εὐθέως οὖν φησι καὶ ἡμῖν αὐτοῖς φιλονεικία καὶ μάχη γενήσεται. ὁμήγυριν.] ἄθροισιν. τεῖχος ἐς ἀμφίχυτον.] τὸ πανταχόθεν περικεχυμένον κύκλῳ πολλῷ τῷ χώματι εἰς ὕψος. τὸ καὶ χωστὸν λεγόμενον. ὃ κατεσκεύασαν οἱ Τρῶες. τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο. τὸ ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη ποίεον ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέοιτο.] Ποσειδῶν καὶ Ἀπόλλων προστάξαντος Διὸς Λαομέδοντι θητεῦσαι ἐπὶ μισθῷ τεταγμένῳ, τὸ τεῖχος κατασκευάζουσι. Λαομέδων δὲ παραβὰς τοὺς ὅρκους καὶ τὰς συνθήκας μὴ δοὺς τὸν μισθὸν ἀπήλασεν αὐτούς. ἀγανακτήσας δὲ Ποσειδῶν ἔπεμψε τῇ χώρᾳ κῆτος, ὃ τούς τε παρατυγχάνοντας ἀνθρώπους καὶ τοὺς γιγνομένους καρποὺς διέφθειρε. μαντευομένῳ δὲ τῷ Λαομέδοντι βορὰν ἐκδοῦναι καὶ οὕτως ἀπαλλαγήσεσθαι τοῦ δεινοῦ. προθεὶς δὲ ἐκεῖνος τὴν θυγατέρα, μισθὸν ἐκήρυξε τῷ τὸ κῆτος ἀνελόντι τοὺς ἀθανάτους ἵππους δώσειν, οὓς Τρωῒ Ζεὺς ἀντὶ Γανυμήδους ἔδωκεν. Ἡρακλῆς δὲ παραγενόμενος, ὑπέσχετο τὸν ἆθλον κατορθώσειν, καὶ Ἀθηνᾶς αὐτῷ πρόβλημα ποιησάσης τὸ καλούμενον ἀμφίχυτον τεῖχος εἰσδὺς διὰ τοῦ στόματος εἰς τὴν κοιλίαν τοῦ κήτους τὰς λαγόνας διέφθειρεν. ὁ δὲ Λαομέδων ὑπαλλάξας, θνητοὺς δίδωσιν ἵππους. μαθὼν δὲ Ἡρακλῆς ἐστράτευσε, καὶ Ἴλιον ἐπόρθησε. καὶ οὕτως ἔλαβε τοὺς ἵππους. ἡ ἱστορία παρὰ Ἑλλανίκῳ.

ἀλέοιτο.] ἐκκλίνοι. φυλάξοιτο. σεύαιτο.] κατεπείγετο διωκόμενος. ἀπ' ἠιόνος.] ἀπὸ τοῦ αἰγιαλοῦ. ἄρρηκτον.] ἄθραυστον. ὀφρύσι.] ὑπεροχαῖς. μεταφορικῶς. ἤιε.] Ἀπόλλων τοξικέ, ἀπὸ τοῦ ἱέναι. ἑκάτερθε.] κεχωρισμένως. καθείατο.] ἐκαθέζοντο. μητιόωντες.] βουλευόμενοι. δυσηλεγέος.] δεινοῦ. χαλεποῦ. δυσηχοῦς. ὤκνεον.] ὤκνουν. ἐπλήσθη.] ἐπληρώθη. κάρκαιρεν.] ἐκινεῖτο. ἤχει. ὀνοματοποιία ὁ τρόπος. νευστάζων κόρυθι.] ἐπινεύων τῇ περικεφαλαίᾳ. βριαρῇ.] στιβαρῇ. ἀσφαλεῖ. θοῦριν.] πολεμικήν. σίντης.] βλαπτικός. κακοῦργος. ἀγρόμενοι πᾶς δῆμος.] ἐν σχήματι περιφραστικῷ, ἀντὶ τοῦ οἱ δημόται. ἀτίζων.] ἀτιμάζων. ἀρηιθόων.] ἐν τῷ πολέμῳ εὐκινήτων. ἐάλη.] συνεστράφη. ἀλήθη. στένει.] στενάζει. ἢ στενοχωρεῖται. οὐρῇ μαστίεται.] τῇ οὐρᾷ μαστίζει ἑαυτόν. φασιν ὁ λέων οὕτως εἰωθώς. ἔχει δέ τι ἐν τῇ οὐρᾷ ἀναμέσον τῶν τριχῶν κέντρον μέλαν ὡς κεράτιον. ὑφ' οὗ νυττόμενος, πλέον ἀγριοῦται ἐκ τῆς ὀδύνης. ἑὲ δ' αὐτόν.] ἀντὶ τοῦ αὐτὸς δὲ ἑαυτὸν ἀγριοῦσθαι ποιεῖ. γλαυκιόων.] πυρρώδης καὶ φοβερὸν βλέπων, ἀφ' οὗ ἀγριούμενος. φθίεται.] φθείρεται. τιμῆς τῆς Πριάμου.] ἕνεκεν τῆς βασιλείας ἀντιφέρει γὰρ οὕτως τοὔνεκα Πρίαμος γέρας. οὐδ' ἀεσίφρων.] οὐ δὲ κοῦφος καὶ ματαιόφρων τὸ φρόνημα. χαλεπῶς.] δυσκόλως. ἔολπα.] ἐλπίζω. σεῦα.] ἐδίωξα. οὔτι μετετροπαλίζεο.] οὐ δὲ ἐπεστρέφου. ληιάδας.] τὰς ἐκ τῆς λείας αἰχμαλώτους. ὡς ἐνὶ θυμῷ βάλλεαι.] ὡς κατὰ διάνοιαν ἐννοεῖς.

νηπύτιον.]

Ἀμφὶ δ' ἄρ' ἄρρηκτον νεφέλην ὤμοισιν ἕσαντο.
Οἱ δ' ἑτέρωσε κάθιζον ἐπ' ὀφρύσι καλλικολώνης,
Ἀμφὶ σὲ ἤιε Φοῖβε καὶ Ἄρηα πτολίπορθον,
Ὣς οἱ μὲν ῥ' ἑκάτερθε καθείατο μητιόωντες
Βουλάς, ἀρχέμεναι δὲ δυσηλεγέος πολέμοιο,
Ὤκνεον ἀμφότεροι, Ζεὺς δ' ἥμενος ὕψι κέλευε.
Τῶν δ' ἅπαν ἐπλήσθη πεδίον, καὶ ἐλάμπετο χαλκῷ
Ἀνδρῶν ἠδ' ἵππων, κάρκαιρε δὲ γαῖα πόδεσιν,
Ὀρνυμένων ἄμυδις, δύο δ' ἀνέρες ἔξοχ' ἄριστοι
Ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι.
Αἰνείας τ' Ἀγχισιάδης, καὶ δῖος Ἀχιλλεύς.
Αἰνείας δὲ πρῶτος ἀπειλήσας ἐβεβήκει,
Νευστάζων κόρυθι βριαρῇ, ἀτὰρ ἀσπίδα θοῦριν,
Πρόσθεν ἔχε στέρνοιο, τίνασσε δὲ χάλκεον ἔγχος.
Πηλείδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο λέων ὣς
Σίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάασιν
Ἀγρόμενοι πᾶς δῆμος, ὁ δὲ πρῶτον μὲν ἀτίζων
Ἔρχεται, ἀλλ' ὅτε κέν τις ἀρηιθόων αἰζηῶν
Δουρὶ βάλῃ, ἐάλη τε χανών, περί τ' ἀφρὸς ὀδόντας
Γίνεται, ἐν δέ τέ οἱ κραδίῃ στένει ἄλκιμον ἦτορ,
Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν
Μαστίεται, ἑὲ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι.
Γλαυκιόων δ' ἰθὺς φέρεται μένει, ἤν τινα πέφνῃ
Ἀνδρῶν, ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ.
Ὣς Ἀχιλῆ' ὤτρυνε μένος καὶ θυμὸς ἀγήνωρ
Ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο,
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς,
Αἰνεία, τί σὺ τόσον ὁμίλου πολλὸν ἐπελθὼν,
Ἔστης, ἦ σέ γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει,
Ἐλπόμενον Τρώεσιν ἀνάξειν ἱπποδάμοισιν
Τιμῆς τῆς Πριάμου, ἀτὰρ εἴ κεν ἔμ' ἐξεναρίξῃς.
Οὔτοι τοὔνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήσει.
Εἰσὶ γάρ οἱ παῖδες, ὁ δ' ἔμπεδος οὐδ' ἀεσίφρων.
Ἦ νύ τι τοι Τρῶες τέμενος τάμον ἔξοχον ἄλλων,
Καλὸν φυταλιῆς, καὶ ἀρούρης, ὄφρα νέμηαι
Αἴ κεν ἐμὲ κτείνῃς, χαλεπῶς δέ σ' ἔολπα τὸ ῥέξειν
Ἤδη μὲν σέ γε φημὶ καὶ ἄλλοτε δουρὶ φοβῆσαι.
Ἦ οὐ μέμνῃ. ὅτε πέρ σε βοῶν ἄπο μοῦνον ἐόντα,
Σεῦα κατ' Ἰδαίων ὀρέων ταχέεσι πόδεσι
Καρπαλίμως. τότε δ' οὔτι μετετροπαλίζεο φεύγων.
Ἔνθεν δ' ἐς Λυρνησὸν ἐπεκφυγες, αὐτὰρ ἐγὼ τὴν,
Πέρσα μεθορμηθεὶς σὺν Ἀθήνῃ καὶ Διὶ πατρί.
Ληιάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας,
Ἦγον, ἀτὰρ σὲ Ζεὺς ἐρρύσατο καὶ θεοὶ ἄλλοι.
Ἀλλ' οὐ νῦν σ' ἐρύεσθαι ὀίομαι ὡς ἐνὶ θυμῷ

βάλλεαι

Βάλλεαι, ἀλλά σ' ἔγωγ' ἀναχωρήσαντα κελεύω,
Ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
Πρίν τι κακὸν παθέειν, ῥεχθὲν δέ τε νήπιος ἔγνω.
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμείβετο φώνησέν τε.
Πηλεΐδη, μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὣς,
Ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
Ἠμὲν κερτομίας, ἠδ' αἴσυλα μυθήσασθαι,
Ἴδμεν δ' ἀλλήλων γενεήν. ἴδμεν δὲ τοκῆας
Πρόκλυτ' ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων,
Ὄψει δ' οὔτ' ἄρπω σὺ ἐμοὺς ἴδες, οὔτ' ἄρ' ἐγὼ σούς,
Φασί σε μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι.
Μητρὸς δ' ἐκ Θέτιδος καλλιπλοκάμου ἁλοσύδνης.
Αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο
Εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοί ἐστ' Ἀφροδίτη,
Τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται
Σήμερον, οὐ γάρ φημ' ἐπέεσσί γε νηπυτίοισιν
Ὧδε διακρινθέντε μάχης ἐξαπονέεσθαι,
Εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' ἐῢ εἰδῇς
Ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν,
Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς,
Κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔπω Ἴλιος ἱρὴ,
Ἐν πεδίῳ πεπόλιστο πόλις μερόπων ἀνθρώπων,
Ἀλλ' ἔθ' ὑπωρείας ᾤκεον πολυπιδάκου Ἴδης.
Δάρδανος αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα.
Ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων,
Τοῦ, τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο,
Θήλειαι πώλοισιν ἀγαλλόμεναι ἀπαλῇσι,
Τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων,
Ἵππῳ δ' εἰσάμενος παρελέξατο κυανοχαίτῃ,
Αἱ δ' ὑποκυσάμεναι ἔτεκον δυοκαίδεκα πώλους.
Αἱ δ' ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον, οὐδὲ κατέκλων,
Ἀλλ' ὅτε δὴ σκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον,
Τρῶα δ' Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα,
Τρωὸς δ' αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
Ἶλός τ', Ἀσάρακός τε, καὶ ἀντίθεος Γανυμήδης,
Ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων,
Τὸν καὶ ἀνηρέψαντο θεοὶ, Διὶ οἰνοχοεύειν
Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη,
Ἶλος, δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα.
Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε
Λάμπον τε, Κλυτίον θ', Ἱκετάονά τ' ὄζον Ἄρηος,
Ἀσάρακος δὲ Κάπυν, ὁ δ' ἄρ' Ἀγχίσην τέκε παῖδα.
Αὐτὰρ ἔμ' Ἀγχίσης, Πρίαμος δ' ἔτεχ' Ἕκτορα δῖον,
Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι,

Ζεὺς

νηπύτιον.] νήπιον. ἄφρονα. ἔλπεο.] ἔλπιζε. δειδίξεσθαι.] εἰς δέος ἄξειν. φοβηθῆναι. κερτομίας.] ἐρεθιστικοὺς καὶ κλευαστικοὺς λόγους. πρόκλυτα.] τὰ ὑπὸ τῶν προτέρων πεφημισμένα. παλαιά. ὄψει.] ὀφθαλμοῖς. ἁλοσύδνης.] ἐναλίας θεοῦ ἐν θαλάσσῃ κατοικούσης. ἐκγεγάμεν.] γεγονέναι. ὧδε.] οὕτως νῦν. Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς.] τὸ Δαρδάνου γένος δηλονότι πρῶτον ἐποιήσατο ὁ Ζεύς. Δάρδανον αὖ πρῶτον τέκετο.] Δάρδανος ὁ Διὸς καὶ Ἠλέκτρας τῆς Ἄτλαντος θυγατρὸς, διὰ τὴν τῆς Σαμοθράκης ἐπομβρίας γενομένης, κατασκευάσας σχεδίαν, καὶ ἀσκὸν ἑαυτῷ περιθεὶς, διεκομίσθη εἰς τὴν Ἴδην τῆς Τρῳάδος. καὶ ἀποβὰς Διὸς ὑποθεμένου, κτίζει πόλιν. ἣν καὶ ἀφ' ἑαυτοῦ Δαρδανίαν ἐκάλεσεν. ἱστορεῖ Λυκόφρων. Δαρδανίαν.] πόλις Τροίας. πεπόλιστο.] ἔκτιστο. ὑπωρείας.] τὰ κάτω μέρη τῶν ὀρῶν. ἀπαλῇσιν.] ἀπαλαῖς. νέαις. τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται σήμερον.] ὑπερβολικῶς εἴρηκε τὸ σήμερον. πῶς γὰρ ἔμελλεν ὁ ἐν Φθίᾳ ὢν ἀκούσεσθαι. ἢ λείπει τὸ ἀναιρεθέντα. τάων καὶ Βορέης ἠράσσατο.] λείπει ἡ ἐκπρόθεσις. ἵν' ᾖ ἐκ τούτων· οὐ γὰρ πασῶν ἠράσθη. κυανοχαίτῃ.] μελαίνας τρίχας ἔχοντι. ὑποκυσάμεναι.] ἔγκυοι γενόμεναι. ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων.] νῦν τῶν ἐν τοῖς στάχυσι λεπτῶν ἀθέρων. ἐλαφρῶς οὖν φησὶν ἄνωθεν αὐτῶν διέτρεχον. ὁμοίως καὶ ἐπὶ τῆς τῶν κυμάτων ἐπιφανείας. μὴ βαπτιζόμεναι τῷ ὕδατι. κυρίως δὲ ἀνθέριξ καλεῖται, ὁ τῶν ἀσφοδέλων καυλός. ἔστι δὲ φυτὸν λαχανῶδες. ἀνηρέψαντο.] ἀνήρπασαν. κάλλεος εἵνεκα οἷο. διὰ τὸ ἴδιον αὐτοῦ κάλλους.

ἀρετήν.]

ἀρετήν.] εὐδαιμονίαν, ἀνδρείαν. μινύθει.] φθείρει. λεγώμεθα.] διαλεγώμεθα. νηπύτιοι ὥς.] ὡς νήπιοι, καὶ ἄφρονες. ἑκατόνζυγος.] ὑπὸ ἑκατὸν ἐρετῶν ἐλαυνομένη. ζυγὰ γὰρ εἰσὶ τῶν ἐρεσσόντων καθέδραι. ἄχθος.] φορτίον, βάρος. ἄροιτο.] λάβοι, κτήσαιτο. στρεπτή.] εὐκίνητος, μεταβολὰς πολλὰς ἔχουσα. νόμος.] νομή, διάταξις. ἔριδας.] φιλονεικίας. νείκεα.] νείκη, ὀνείδη λέγειν. χολωσάμεναι.] ὀργισθεῖσαι. νεικεῦσι.] φιλονεικοῦσι, λοιδοροῦσι. μέσην ἐς ἄγυιαν ἰοῦσαι.] εἰς μέσον τὸ ἄμφοδον προελθοῦσαι. πόλλ' ἐτεά τε καὶ οὐκί.] πολλὰ καὶ ἀληθῆ καὶ ψευδῆ. γευσόμεθ' ἀλλήλων.] ἀντὶ τοῦ ἀψώμεθα. ὅ ἐστιν ἀπόπειραν λαβώμεθα τῆς ἀλλήλων δυνάμεως. εἴρηται δὲ μεταφορικῶς. μύκεν.] ἐψόφησεν. ἡ μεταφορὰ ἀπὸ τῆς φωνῆς. ἀλλὰ δύο μὲν ἔλασσε διὰ πτύχας.] ἕως τοῦ τῇ ῥ' ἔσχετο χάλκεον ἔγχος. ἀῤῥώτων ὑπαρχόντων παρ' Ὁμήρῳ τῶν Ἀχιλλέως ὅπλων, ἔξωθεν καθ' ἑνὸς τεταγμένης διὰ πλείονα κόσμον τῆς χρυσῆς πτυχός, οὕτως ἀποδοτέον τὸν λόγον. ἀλλὰ μέχρι μὲν δύο πτυχῶν προῆλθεν ἡ τοῦ ἔγχους ἐνέργεια. εἴξεως καὶ οἱονεὶ συνιζήσεως γινομένης. ἐπὶ δὲ τῇ τρίτῃ ἐπισχέθη. πῶς φησιν ἄῤῥωτον ὑποστησάμενος τὴν ἀσπίδα νῦν τοῦτο λέγει. ῥητέον οὖν ὅτι ὁ χρυσὸς ὢν μαλθακώτερος χαλκοῦ καὶ σιδήρου, ἐνέδωκε τῷ δόρατι καὶ ἐκοιλάνθη· καὶ ἐγένετο κοίτη καὶ ὁ ῥῶσις. ἔσχετο.] ἐπισχέθη. πτύχας.] τὰ ἐλάσματα τῆς ἀσπίδος. ἤλασεν.] ἔπληξεν, ἔτρωσεν. κυλλοποδίων.] χωλός. λέγει δὲ τὸν Ἥφαιστον. ἄντυγ' ὑπὸ πρώτην.] κατὰ τὸν ἔξωθεν κύκλον τῆς ἀσπίδος. ᾗ λεπτότατος θέε χαλκός.] καθ' ὃ μέρος τῇ ἀσπίδι λεπτότατος περιέκειτο χαλκός. λάκεν.] ἐψόφησεν, ἤχησεν. ἢ διεκόπη ὡς καὶ ἐν τοῖς ἱματίοις λακίδες λέγονται αἱ διακοπαί. ἐάλη.] συνεστάλη. ἱεμένη.] προθυμουμένη, ἐπειγομένη. ἕλε.] διεῖλεν, ἔκοψεν. χύτο.] περιεχύθη.

ὄρκεσιν.]

Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε,
Ὅππως κεν ἐθέλῃσιν, ὃ γὰρ κάρτιστος ἁπάντων,
Ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥς,
Ἑσταότ' ἐν μέσσῃ ὑσμίνῃ δηϊοτῆτος.
Ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
Πολλὰ μάλ', οὐδ' ἂν νηῦς ἑκατόνζυγος ἄχθος ἄροιτο.
Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἐνὶ μῦθοι
Παντοῖοι, ἐπέων δὲ πολὺς νόμος ἔνθα καὶ ἔνθα,
Ὁπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις,
Ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη
Νεικεῖν ἀλλήλοισιν ἐναντίον ὥς τε γυναῖκας,
Αἵ τε χολωσάμεναι ἔριδος πέρι θυμοβόροιο
Νεικεῦσ' ἀλλήλῃσι μέσην ἐς ἄγυιαν ἰοῦσαι,
Πόλλ' ἐτεά τε καὶ οὐκί, χόλος δέ τε καὶ τὰ κελεύει.
Ἀλκῆς δ' οὔ μ' ἐπέεσσιν ἀποτρέψεις μεμαῶτα,
Πρὶν χαλκῷ μαχέσασθαι ἐναντίον, ἀλλ' ἄγε θᾶσσον
Γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν,
Ἦ ῥα, καὶ ἐν δεινῷ σάκει ἤλασε χάλκεον ἔγχος
Σμερδαλέον, μέγα δ' ἀμφὶ σάκος μύκε δουρὸς ἀκωκή.
Πηλεΐδης δὲ σάκος μὲν ἀπὸ ἕο χειρὶ παχείῃ,
Ἔσχετο ταρβήσας, φάτο γὰρ δολιχόσκιον ἔγχος,
Ῥεῖα δ' ἐλεύσεσθαι μεγαλήτορος Αἰνείαο,
Νήπιος, οὐδ' ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμόν,
Ὡς οὐ ῥηΐδι' ἐστὶ θεῶν ἐρικυδέα δῶρα,
Ἀνδράσι γε θνητοῖσι δαμήμεναι, οὐδ' ὑποείκειν.
Οὐδὲ τότ' Αἰνείαο δαΐφρονος ὄβριμον ἔγχος
Ῥῆξε σάκος, χρυσὸς γὰρ ἐρύκακε δῶρα θεοῖο
Ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας, αἱ δ' ἄρ' ἔτι τρεῖς
Ἦσαν, ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων,
Τὰς δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο,
Τὴν δὲ μίαν χρυσῆν, τῇ ῥ' ἔσχετο χάλκεον ἔγχος,
Δεύτερος αὖτ' Ἀχιλεὺς προΐει δολιχόσκιον ἔγχος,
Καὶ βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσε ἴσην,
Ἄντυγ' ὑπὸ πρώτην, ᾗ λεπτότατος θέε χαλκός,
Λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός, ἣ δὲ διὰ πρὸ
Πηλιὰς ἤϊξε μελίη, λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς.
Αἰνείας δ' ἐάλη καὶ ἀπὸ ἕθεν ἀσπίδ' ἀνέσχε
Δείσας, ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
Ἔστη ἱεμένη, διὰ δ' ἀμφοτέρους ἕλε κύκλους,
Ἀσπίδος ἀμφιβρότης. ὁ δ' ἀλευάμενος δόρυ μακρόν,
Ἔστη, κὰδ δ' ἄχος οἱ χύτο μυρίον ὀφθαλμοῖσι
Ταρβήσας, ὅ οἱ ἄγχι πάγη βέλος, αὐτὰρ Ἀχιλλεὺς
Ἐμμεμαὼς ἐπόρουσεν ἐρυσσάμενος ξίφος ὀξύ,
Σμερδαλέα ἰάχων, ὁ δὲ χερμάδιον λάβε χειρὶ
Αἰνείας μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,
Οἷοι νῦν βροτοί εἰσ', ὁ δέ μιν ῥέα πάλλε καὶ οἶος.

Ἔνθα κεν

Ἔνθα κεν Αἰνείας μὲν ἐπεσσύμενον βάλε πέτρῳ.
Ἢ κόρυθ', ἠὲ σάκος, τό οἱ ἤρκεσε λυγρὸν ὄλεθρον,
Τὸν δέ κε Πηλείδης σχεδὸν ἄορι θυμὸν ἀπηύρα,
Εἰ μὴ ἄρ' ὀξὺ νόησε Ποσειδάων ἐνοσίχθων,
Αὐτίκα δ' ἀθανάτοισι θεοῖς μετὰ μῦθον ἔειπεν,
Ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο.
Ὃς τάχα Πηλείωνι δαμεὶς, ἄϊδος δὲ κάτεισι
Πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο
Νήπιος, οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον,
Ἀλλὰ τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει.
Μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ' αἰεὶ
Δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν
Ἀλλ' ἄγεθ' ἡμεῖς πέρ μιν ὑπ' ἐκ θανάτου ἀγάγωμεν
Μή πως καὶ Κρονίδης κεχολώσεται, αἴ κεν Ἀχιλλεὺς
Τόνδε κατακτείνῃ, μόρσιμον δέ οἱ ἐστ' ἀλέασθαι,
Ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται.
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων,
Οἳ ἕθεν ἐξεγένοντο γυναικῶν τε θνητάων.
Ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων,
Νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει.
Καὶ παίδες παίδων τοί κεν μετόπισθε γένωνται.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη.
Ἐννοσίγαι' αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον
Αἰνείαν, ἤ κέν μιν ἐρύσσεαι, ἦ κεν ἐάσῃς.
Πηλείδῃ Ἀχιλῆϊ δαμήμεναι ἐσθλὸν ἐόντα,
Ἤτοι μὲν γὰρ νῶϊ πολέας ὠμόσσαμεν ὅρκους,
Πᾶσι μετ' ἀθανάτοισιν, ἐγὼ καὶ Παλλὰς Ἀθήνη.
Μή ποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
Μὴ δ' ὁπόταν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
Δαιομένη, δαίωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν,
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
Βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων.
Ἷξε δ' ὅθ' Αἰνείας ἠδ' ὁ κλυτὸς ἦεν Ἀχιλλεύς.
Αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν χέεν ἀχλὺν
Πηλείδῃ Ἀχιλῆϊ, ὁ δὲ μελίην εὔχαλκον
Ἀσπίδος ἐξέρυσεν μεγαλήτορος Αἰνείαο.
Καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος ἔθηκεν.
Αἰνείαν δ' ἔσσευεν ἀπὸ χθονὸς ὑψόσ' ἀείρας.
Πολλὰς δὲ στίχας ἡρώων πολλὰς δὲ καὶ ἵππων
Αἰνείας ὑπεράλτο θεοῦ ἀπὸ χειρὸς ὀρούσας,
Ἷξε δ' ἐπ' ἐσχατιὴν πολυάϊκος πολέμοιο,
Ἔνθα δὲ Καύκωνες πόλεμον μετεθωρήσσοντο.
Τῷ δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων.
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
Αἰνεία, τίς σ' ὧδε θεῶν ἀέκητι κελεύει
Ἀντί' Ἀχιλλῆος πολεμίζειν ἠδὲ μάχεσθαι,

Ὅς σευ

ἤρκεσεν.] ἐβοήθησεν. ὠφέλησεν. Πηλείωνι δαμείς.] ὑπὸ Ἀχιλλέως ἀναιρεθείς. μόρσιμον.] εἱμαρμένον. μεμοιραμένον. ἀλέασθαι.] ἐκκλῖναι. διασωθῆναι. ἐρύσσεαι.] ῥύσῃ. σώσεις. πολέας.] πολλούς. ἄσπερμος.] ἄτεκνος. ἄγονος. φίλατο.] ἐφίλησε. νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει.] Ἀφροδίτη θρησμοῦ ἐκπεσόντος, ὅτι τῆς Πριαμιδῶν ἀρχῆς καταλυθείσης, οἱ ἀπ' Ἀγχίσου Τρώων βασιλεύσουσιν, Ἀγχίσῃ ἤδη παρηκμακότι συνῆλθεν. τεκοῦσα δ' Αἰνείαν, καὶ βουλομένη πρόφασιν κατασκευάσαι τῆς τῶν Πριαμιδῶν καταλύσεως, Ἀλεξάνδρῳ πόθον Ἑλένης ἐνέβαλε. καὶ μετὰ τὴν ἁρπαγὴν τῷ μὲν δοκεῖν συνεμάχει τοῖς Τρωσί. ταῖς δὲ ἀληθείαις, παρηγόρει τὴν ἧτταν αὐτῶν ἵνα μὴ παντελῶς ἀπελπίσαντες, ἀποδῶσι τὴν Ἑλένην. ἱστορεῖ Ἀκουσίλαος. ἔσσευεν.] ὥρμησεν. ἐδίωξε. Καύκωνες.] οἱ μὲν Τρωϊκὸν ἔθνος βάρβαρον. ἄλλοι δὲ Παφλαγωνίας. οἱ δὲ τοὺς ἐπίκλην Καυκανίας. ἡ δὲ Καύκανος πόλις παράλιος Λυκίας καὶ Καρίας. ἐζήτηται δὲ πῶς τὸν Αἰνείαν οὐκ Ἀπόλλων ἐρύσατο ἀλλὰ Ποσειδῶν, καί φασιν ὅτι ἡ μεγάλη περὶ θεοὺς εὐσέβεια δυσωποῦσα τυγχάνει καὶ τοὺς δι' ἐχθρὰς ὄντας. ἀτέοντα.] ἐν ἄτῃ ὄντα. ὅ ἐστι βλαπτόμενον καὶ ἀφρονιστοῦντα σαυτοῦ.

διεπέφραδε.]

διεπέφραδε.] διεσήμανεν. εἶπε. σκέδασεν.] ἐσκόρπισε. τόσους δ' ἀνθρώπους.] ὁ Ἀσκαλωνίτης προπερισπᾷ κατὰ λέξιν. ὡς τόσους δ' ὑσμίνης. ὁ δὲ Ἀρίσταρχος κατὰ παρολκὴν ἐδέξατο τὸν δε. ἦρα.] οὕτως δή. ἐρρέτω.] φθειρέσθω. ἄσμενος.] χαίρων. ἐφέποι.] ἐπέρχοιτο. ἐπιδιώκοι. στόμα.] τὴν σύστασιν. ἠβαιόν.] οὕτως μικρόν. στιχὸς εἶμι διαμπερές.] διὰ τῆς τάξεως ἐλεύσομαι. φάτο δ' ἴμεναι ἄντ' Ἀχιλῆος.] ἔλεγε δὲ ἄντικρυς ἐλεύσεσθαι τοῦ Ἀχιλλέως. κολούει.] ἀκέφαλον. καὶ ἀτελῆ ποιήσει τουτέστιν. ἀποτεύξεται πρὸ τοῦ ποιῆσαι.

εἵμενος

Ὅς σεῦ ἅμα κρείσσων καὶ φίλτερος ἀθανάτοισιν.
Ἀλλ' ἀναχωρῆσαι, ὅτε κεν συμβλήσεαι αὐτῷ,
Μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι.
Αὐτὰρ ἐπεί κ' Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ,
Θαρσήσας δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι.
Οὐ μὲν γάρ τίς σ' ἄλλος Ἀχαιῶν ἐξεναρίξει.
Ὣς εἰπὼν λίπεν αὐτόθ', ἐπεὶ διεπέφραδε πάντα.
Αἶψα δ' ἔπειτ' Ἀχιλῆος ἀπ' ὀφθαλμῶν σκέδασ' ἀχλὺν
Θεσπεσίην, ὁ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖσιν.
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
Ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονός, οὐδέ τι φῶτα
Λεύσσω τῷ ἐφέηκα κατακτάμεναι μενεαίνων,
Ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσιν
Ἦεν, ἀτάρ μιν ἔφην μὰψ αὔτως εὐχετάασθαι,
Ἐρρέτω, οὔ οἱ θυμὸς ἐμεῦ ἔτι πειρηθῆναι
Ἔσσεται, ὃς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο.
Ἀλλ' ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσας,
Τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών.
Ἦ, καὶ ἐπὶ στίχας ἆλτο, κέλευε δὲ φωτὶ ἑκάστῳ.
Μηκέτι νῦν Τρώων ἑκὰς ἕστατε δῖοι Ἀχαιοί,
Ἀλλ' ἄγ' ἀνὴρ ἄντ' ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι.
Ἀργαλέον δέ μοι ἐστὶ καὶ ἰφθίμῳ περ ἐόντι,
Τοσσοὺς δ' ἀνθρώπους ἐφέπειν καὶ πᾶσι μάχεσθαι
Οὐδέ κ' Ἄρης ὅς περ θεὸς ἄμβροτος, οὐδέ κ' Ἀθήνη
Τόσσης δ' ὑσμίνης ἐφέποι στόμα καὶ πονέοιτο.
Ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε,
Καὶ σθένει, οὔ μ' ἔτι φημὶ μεθησέμεν οὐδ' ἠβαιόν,
Ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερές, οὐδέ τιν' οἴω
Τρώων χαιρήσειν ὅς τις σχεδὸν ἔγχεος ἔλθῃ.
Ὣς φάτ' ἐποτρύνων Τρώεσσι δὲ φαίδιμος Ἕκτωρ.
Κέκλεθ' ὁμοκλήσας, φάτο δ' ἴμεναι ἄντ' Ἀχιλῆος.
Τρῶες ὑπέρθυμοι μὴ δείδιτε Πηλεΐωνα.
Καί κεν ἐγὼ ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην,
Ἔγχεϊ δ' ἀργαλέον, ἐπεὶ ἦ πολὺ φέρτεροι εἰσίν,
Οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ἐπιθήσει.
Ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούει.
Τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν.
Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.
Ὣς φάτ' ἐποτρύνων, οἳ δ' ἀντίοι ἔγχε' ἄειραν
Τρῶες, τῶν δ' ἄμυδις μίχθη μένος, ὦρτο δ' ἀϋτή,
Καὶ τότ' ἄρ' Ἕκτορα εἶπε παραστὰς Φοῖβος Ἀπόλλων.
Ἕκτορ μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε,
Ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
Μή πως σ' ἠὲ βάλῃ ἠὲ σχεδὸν ἄορι τύψῃ.
Ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτις ἐδύσετο οὐλαμὸν ἀνδρῶν

Ταρβήσας

Ταρβήσας ὅτ' ἄκουσε θεοῦ ὄπα φωνήσαντος,
Ἐνδ' Ἀχιλεὺς Τρώεσσι θόρε φρεσὶν εἱμένος ἀλκήν,
Σμερδαλέα ἰάχων, πρῶτον δ' ἕλεν Ἰφιτίωνα,
Ἐσθλὸν Ὀτρυντεΐδην πολέων ἡγήτορα λαῶν,
Ὃν νύμφη τέκε νηῒς Ὀτρυντῆϊ πτολιπόρθῳ,
Τμώλῳ ὑπὸ νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ.
Τὸν ῥ' ἰθὺς μεμαῶτα βάλ' ἔγχεϊ δῖος Ἀχιλλεύς,
Μέσσην κακκεφαλήν, ἡ δ' ἄνδιχα πᾶσα κεάσθη,
Δούπησε δὲ πεσών, ὁ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς,
Κεῖσαι Ὀτρυντείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν,
Ἐνθάδε τοι θάνατος, γενεὴ δέ τοι ἐστ' ἐπὶ λίμνῃ
Γυγαίῃ, ὅθι τοι τέμενος πατρώϊόν ἐστιν,
Ὕλλῳ ἐπ' ἰχθυόεντι, καὶ Ἕρμῳ δινήεντι.
Ὣς φάτ' ἐπευχόμενος, τὸν δὲ σκότος ὄσσε κάλυψε.
Τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπισσώτροις δατέοντο,
Πρώτῃ ἐν ὑσμίνῃ, ὁ δ' ἐπ' αὐτῷ Δημολέοντα,
Ἐσθλὸν ἀλεξητῆρα μάχης Ἀντήνορος υἱόν,
Νύξε κατὰ κρόταφον, κυνέης διὰ χαλκοπαρήου,
Οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ δι' αὐτῆς
Αἰχμὴ ἱεμένη ῥῆξ' ὀστέον, ἐγκέφαλος δὲ
Ἔνδον ἅπας πεπάλακτο, δάμασσε δέ μιν μεμαῶτα,
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀΐσσοντα
Πρόσθεν ἕθεν φεύγοντα, μετάφρενον οὔτασε δουρί,
Αὐτὰρ ὁ θυμὸν ἄϊσθε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος
Ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα,
Κούρων ἑλκόντων, γάνυται δέ τε τοῖς Ἐνοσίχθων.
Ὣς ἄρα τόν γ' ἐρύγοντα λίπ' ὀστέα θυμὸς ἀγήνωρ.
Αὐτὰρ ὁ βῆ σὺν δουρὶ μετ' ἀντίθεον Πολύδωρον
Πριαμίδην, τὸν δ' οὔτι πατὴρ εἴασκε μάχεσθαι,
Οὕνεκά οἱ μετὰ παισὶ νεώτατος ἔσκε γόνοιο,
Καί οἱ φίλτατος ἔσκε, πόδεσσι δὲ πάντας ἐνίκα.
Δὴ τότε νηπιέῃσι ποδῶν ἀρετὴν ἀναφαίνων,
Θῦνε διὰ προμάχων, εἷος φίλον ὤλεσε θυμόν,
Τὸν βάλε μέσσον ἄκοντι ποδάρκης δῖος Ἀχιλλεὺς
Νῶτα παραΐσσοντος, ὅθι ζωστῆρος ὀχῆες
Χρύσειοι σύνεχον, καὶ διπλόος ἤντετο θώρηξ.
Ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν ἔγχεος αἰχμή,
Γνὺξ δ' ἔριπ' οἰμώξας, νεφέλη δέ μιν ἀμφεκάλυψε
Κυανέη, προτὶ οἷ δ' ἔλαβ' ἔντερα χερσὶ λιασθείς.
Ἕκτωρ δ' ὡς ἐνόησε κασίγνητον Πολύδωρον,
Ἔντερα χερσὶν ἔχοντα λιαζόμενον ποτὶ γαίῃ
Κάρ ῥά οἱ ὀφθαλμῶν κέχυτ' ἀχλύς, οὐδ' ἄρ' ἔτ' ἔτλη
Δηρὸν ἑκὰς στρωφᾶσθ', ἀλλ' ἀντίος ἦλθ' Ἀχιλῆος,
Ὀξὺ δόρυ κραδάων φλογὶ ἴκελος, αὐτὰρ Ἀχιλλεὺς
Ὣς εἶδ', ὣς ἀνέπαλτο καὶ εὐχόμενος ἔπος ηὔδα.
Ἐγγὺς ἀνὴρ ὃς ἐμόν γε μάλιστ' ἐπεμάσσατο θυμόν

ὅς μοι

εἱμένος ἀλκήν.] περικείμενος δύναμιν. Τμώλῳ.] ὄρει Λυδίας. Ὕδης] Ὕδη διὰ τοῦ δ. πόλις Λυδίας ἡ νῦν καλουμένη Σάρδεις. διὰ δὲ τοῦ λ. Ὕλη πόλις Βοιωτίας. πίονι δήμῳ.] τῷ εὐδαίμονι. κεάσθη.] ἐσχίσθη. ἐπεύξατο.] ἐπικαυχήσατο. λίμνῃ Γυγαίῃ.] οὕτως ἐν Λυδίᾳ λίμνη καλουμένη Γυγαίη, ἤτοι ἀπὸ Γύγου τοῦ Κανδαύλου, ὃν πρῶτόν φασι βασιλεῦσαι Λυδῶν. ἢ ἀπό τινος ἐγχωρίου ἥρωος Γύγου καλουμένου. ἐπισσώτροις.] κανθοῖς. δατέοντο.] διέκοπτον. ἀλεξητῆρα.] μάχης ἀποτρεπτικόν. βοηθόν. ἔσχεθεν.] ἐπέσχεν. ἐκώλυσε. πεπάλακτο.] ἐπεμόλυντο. ἄϊσθεν.] ἐξέπνευσεν. ἤρυγεν.] ἐμυκήσατο. ἀνερύγγανε. πνεῦμα σφοδρὸν ἀφῆκεν ὡς δ' ὅτε ταῦρος. Ἑλικώνιον ἀμφὶ ἄνακτα.] τὸν Ποσειδῶνα. ἤτοι ὅτι ἐν Ἑλικῶνι ὄρει τῆς Βοιωτίας τιμᾶται ἢ ἐν Ἑλίκῃ. μᾶλλον οὖν παρὰ τὸν ἐν Ἑλίκῃ θεόν. διαφέρει γὰρ Ἑλικὼν καὶ Ἑλίκη. ὅτι Ἑλικὼν μὲν ὄρος Βοιωτίας. Ἑλίκη δὲ νῆσος Ἀχαΐας, ἐν ᾗ ἱερὸν Ποσειδῶνος. ἡ δὲ ἱστορία αὕτη. Νηλεὺς ὁ Κόδρου χρησμὸν λαβὼν ἀποικίαν ἔστελλεν εἰς Μίλητον, καὶ Καρίαν ἔνθα ἱερὸν Ποσειδῶνος ἱδρύσατο. καὶ ἀπὸ τοῦ ἐν Ἑλίκῃ τεμένους, Ἑλικώνιον τὸν θεὸν προσηγόρευσε. δοκεῖ δὲ ἐπειδ' ἂν θύωσι, βοησάντων μὲν τῶν βοῶν προσδέχεσθαι τὸ θεῖον τὴν θυσίαν. σιγώντων δὲ λυπεῖσθαι καὶ μηνιᾶν νομίζεσθαι. ἡ ἱστορία παρὰ Κλειτοφῶντι. γάνυται.] ἥδεται. χαίρει. νηπιέῃσιν.] ἀφροσύναις. ἀνοίαις. ὀχῆες.] οἱ συνέχοντες τὸν ζωστῆρα ἱμάντες. διέσχε.] διῆλθε. γνὺξ] ἐπὶ γόνυ. οἰμώξας.] στενάξας. προτὶ οἷ] πρὸς ἑαυτόν. λιασθείς.] ἐκκλίνας. λιαζόμενον ποτὶ γαίῃ.] πρὸς τῇ γῇ κεκλιμένον. ὅ ἐστι κείμενον. ἐπεμάσσατο.] καθίκετο. ἐλύπησε.

τετιμένον.]

τετιμένον. τετιμημένον, πτώσσοιμεν. φοβοίμεθα. πτολέμοιο γεφύρας.] τὰ μεταξὺ τῶν πολεμούντων διαστήματα. αἴσυλα.] τὰ παρὰ τὸ καθῆκον γιγνόμενα ἄδικα. ὀξὺ πάροιθεν.] ἔξυστον τῶν ἔμπροσθεν μέρους. κατὰ τὴν ἀκμήν. πνοιῇ.] πνεύματι. Ἀχιλλῆος πάλιν.] ἐπὶ τὸ ἕτερον μέρος Ἀχιλλέως. ὅ ἐστι τὸ ἐναντίον. ἦκα μάλα ψύξασα.] πάνυ ἠρέμα καὶ πράως καταπνεύσασα καὶ ὑποκλάσασα τὴν ὁρμήν. ἢ κοῦφον ποιήσασα. ἐς δοῦπον ἀκόντων.] ἐπὶ τὴν ἄφεσιν τῶν δοράτων ἐπὶ τὴν μάχην. ὁμοκλήσας.] ἀπειλήσας. ἐρύσατο.] ἔσωσε. μέλλεις. ἔοικας. ἐπιείσομαι. ἐπελεύσομαι. ἐξαίνυτο.] ἀφῃρεῖτο. ἐλάμβανε. εἴ πως πεφίδοιτο.] εἴπως αὐτοῦ φείδοιτο. γλυκύθυμος.] ἀνειμένος, καὶ προσηνὴς τῇ ψυχῇ. ἀγανόφρων.] πρᾶος τὸ φρόνημα. ὄλισθεν.] ἔπεσεν. ἐνέπλησεν.] ἐπλήρωσεν.

ενα.]

Ὅς μοι ἑταῖρον ἔπεφνε τετιμένον, οὐδ' ἂρ ἔτι δὴν
Ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας,
Ἦ. καὶ ὑπόδρα ἰδὼν προσεφώνεεν Ἕκτορα δῖον.
Ἆσσον ἴθ' ὥς κε θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι.
Τὸν δ' οὐ ταρβήσας προσέφη κορυθαίολος Ἕκτωρ.
Πηλείδη μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὥς,
Ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
Ἠμὲν κερτομίας, ἠδ' αἴσυλα μυθήσασθαι,
Οἶδα δ' ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
Αἴ κέ σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
Δουρὶ βαλών. ἐπεὶ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν.
Ἦ ῥα. καὶ ἀμπεπαλὼν προΐει δόρυ, καὶ τό γ' Ἀθήνη,
Πνοιῇ Ἀχιλλῆος πάλιν ἔτραπε κυδαλίμοιο
Ἦκα μάλα ψύξασα, τὸ δ' ἂψ ἵκεθ' Ἕκτορα δῖον,
Αὐτοῦ δὲ προπάροιθε ποδῶν πέσεν, αὐτὰρ Ἀχιλλεὺς
Ἐμμεμαὼς ἐπόρουσε κατακτάμεναι μενεαίνων,
Σμερδαλέα ἰάχων, τὸν δ' ἐξήρπαξεν Ἀπόλλων,
Ῥεῖα μάλ', ὥς τε θεός, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ,
Τρὶς μὲν ἔπειτ' ἐπόρουσε ποδάρκης δῖος Ἀχιλλεὺς
Ἔγχεϊ χαλκείῳ, τρὶς δ' ἠέρα τύψε βαθεῖαν,
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
Δεινὰ δ' ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα.
Ἐξ αὖ νῦν ἔφυγες θάνατον κύον, ἦ τέ τοι ἄγχι
Ἦλθε κακόν, νῦν δ' αὖ τέ σ' ἐρύσατο Φοῖβος Ἀπόλλων,
Ὧι μέλλεις εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων,
Ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
Εἴ πού τις καὶ ἔμοιγε θεῶν ἐπιτάρροθός ἐστι,
Νῦν δ' ἄλλους Τρώων ἐπιείσομαι ὅν κε κιχείω.
Ὣς εἰπὼν Δρύοπ' οὖτα κατ' αὐχένα μέσσον ἄκοντι.
Ἤριπε δὲ προπάροιθε ποδῶν, ὁ δὲ τὸν μὲν ἔασε.
Δημοῦχον δὲ Φιλητορίδην ἠΰν τε μέγαν τε
Καγγόνυ δουρὶ βαλὼν ἠρύκακε, τὸν μὲν ἔπειτα
Οὐτάζων ξίφεϊ μεγάλῳ ἐξαίνυτο θυμόν.
Αὐτὰρ ὁ Λαόγονον καὶ Δάρδανον υἷε Βίαντος,
Ἄμφω ἐφορμηθεὶς ἐξ ἵππων ὦσε χαμᾶζε,
Τὸν μὲν δουρὶ βαλών, τὸν δὲ σχεδὸν ἄορι τύψας.
Τρῶα δ' Ἀλαστορίδην, ὁ μὲν ἀντίος ἤλυθε γούνων
Εἴ πως εὖ πεφίδοιτο λαβὼν καὶ ζωὸν ἀφείη,
Μηδὲ κατακτείνειεν, ὁμηλικίην ἐλεήσας
Νήπιος, οὐδὲ τὸ ᾔδη ὅ, οὐ πείσεσθαι ἔμελλεν,
Οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν, οὐδ' ἀγανόφρων,
Ἀλλὰ μάλ' ἐμμεμαώς, ὁ μὲν ἥπτετο χείρεσι γούνων
Ἱέμενος λίσσεσθ', ὁ δὲ φασγάνῳ οὖτα καθ' ἧπαρ.
Ἐκ δέ οἱ ἧπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ
Κόλπον ἐνέπλησε, τὸν δὲ σκότος ὄσσε κάλυψε

Θυμοῦ

Θυμοῦ δευόμενον, ὁ δὲ μείλιον οὔτι παραστὰς
Δουρὶ κατ' οὖς, εἶθαρ δὲ δι' οὔατος ἦλθ' ἑτέροιο
Αἰχμὴ χαλκείη, ὁ δ' Ἀγήνορος υἱὸν Ἔχεκλον,
Μέσσην κακκεφαλὴν ξίφει ἤλασε κωπήεντι
Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι, τὸν δὲ κατ' ὄσσε
Ἔλλαβε πορφύρεος θάνατος, καὶ μοῖρα κραταιή,
Δευκαλίωνα δ' ἔπειθ' ἵνα τε ξυνέχουσι τένοντες
Ἀγκῶνος, τῇ τόν γε φίλης διὰ χειρὸς ἔπειρεν,
Αἰχμῇ χαλκείῃ, ὁ δέ μιν μένε χεῖρα βαρυνθεὶς
Πρόσθ' ὁρόων θάνατον, ὁ δὲ φασγάνῳ αὐχένα θείνας,
Τῆλ' αὐτῇ πήληκι κάρη βάλε. μυελὸς αὖτε
Σπονδυλίων ἔκπαλθ', ὁ δ' ἐπὶ χθονὶ κεῖτο τανυσθείς.
Αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετ' ἀμύμονα Πείρεω υἱὸν
Ῥίγμον, ὃς ἐκ Θρήκης ἐριβώλακος εἰληλούθει.
Τὸν βάλε μέσσον ἄκοντι, πάγη δ' ἐν νηδύϊ χαλκὸς
Ἤριπε δ' ἐξ ὀχέων, ὁ δ' Ἀρηΐθοον θεράποντα.
Ἂψ ἵππους στρέψαντα, μετάφρενον ὀξέϊ δουρὶ
Νύξ', ἀπὸ δ' ἅρματος ὦσε, κυκήθησαν δὲ οἱ ἵπποι.
Ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ
Οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη.
Πάντῃ τε κλονέων ἄνεμος φλόγα εἰλυφάζει,
Ὣς ὅγε πάντῃ θῦνε σὺν ἔγχεϊ δαίμονι ἶσος,
Κτεινομένους ἐφέπων, ῥέε δ' αἵματι γαῖα μέλαινα,
Ὡς δ' ὅτε τις ζεύξῃ βόας ἄρσενας εὐρυμετώπους,
Τριβέμεναι κρῖ λευκὸν ἐϋτροχάλῳ ἐν ἀλωῇ,
Ῥίμφα τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόσσ' ἐριμύκων,
Ὣς ὑπ' Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
Στεῖβον ὁμοῦ νέκυάς τε, καὶ ἀσπίδας, αἵματι δ' ἄξων
Νέρθεν ἅπας πεπάλακτο, καὶ ἄντυγες αἳ περὶ δίφρον,
Ἃς ἄρ ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον,
Αἵτ' ἀπ' ἐπισσώτρων, ὁ δὲ ἵετο κῦδος ἀρέσθαι,
Πηλείδης λύθρῳ δ' ἐπαλάσσετο χεῖρας ἀάπτους.

ἵνα.] ὅπου. τένοντες.] τὰ τεινόμενα νεῦρα. ἔπειρεν.] ἐπέρασε. πρόσθ' ὁρόων θάνατον.] ἔχων πρὸ ὀφθαλμῶν τὸν θάνατον. σφονδυλίων.] σφονδύλων. οἵ εἰσιν μεδ. ἐν τῇ ῥάχει. ἔκπαλτο.] ἐξεπήδησε. νηδύϊ.] γαστρί. ἀναμαιμάει.] ἀναφέρεται. ἢ ἐνθουσιᾷ. θεσπιδαές.] ὑπὸ θεῶν ἀναπτόμενον. θεῖον. ἀζαλέοιο.] ξηροῦ. κλονέων.] ταράσσων. εἰλυφάζει.] εἰλεῖ. συστρέφει. κτεινομένους ἐφέπων.] ἔδει εἰπεῖν ἐφεῖπε κτεινομένων, εὐρυμετώπους.] πλατυμετώπους. τριβέμεναι.] ἀλοᾶν. ἐριμύκων.] μεγάλως μυκωμένων. στεῖβον νέκυας. ἐπάτουν τοὺς νεκρούς. ῥαθάμιγγες.] ῥανίδες. ἃς ἄρ ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον.] ἃς ἀποπίπτουσαι τῶν ἱππείων ὁπλῶν, ὅ ἐστιν ὀνύχων αἱ ῥανίδες ἔβαλλον. λύθρῳ.] ὁ ἐκ τῶν πολεμικῆς ἐνεργείας μολυσμός. ἢ τὸ μετὰ κονιορτοῦ καὶ ἱδρῶτος ἀνθρώπειον αἷμα λύθρος καλεῖται. ἀάπτους.] ἀπροσπελάστους. χαλεπάς.

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Φ ΤΟΥ

## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Τῶν Τρώων εἰς δύο διαιρεθέντων μέρη, τοὺς μὲν εἰς τὴν πόλιν, τοὺς δὲ εἰς τὸν Σκάμανδρον Ἀχιλλεὺς διώκει. καὶ δώδεκα νεανίας ζωγρεῖ εἰς ποινὴν Πατρόκλου. τὸν δὲ Πριάμου υἱὸν Λυκάονα καὶ Ἀστεροπαῖον ἀναιρεῖ. ἔπειτα τοῦ ποταμοῦ πλημμύραντος κινδυνεύοντα αὐτὸν σώζει Ἥφαιστος, ἐμπρήσας τὸν ποταμὸν καὶ τὸ πεδίον. μετὰ ταῦτα θεῶν μάχη γίγνεται πρὸς ἀλλήλους. Ἀχιλλέα δὲ Ἀπόλλων εἴργει Ἀγήνορι ὁμοιωθεὶς, καὶ φεύγων ἐξαπατᾷ, ἕως οἱ Τρῶες διασώζονται εἰς τὴν πόλιν.